𝔊 εὑρεθήσεται. [20]καὶ ἀναστήσεται ἐκ τῆς ῥίζης αὐτοῦ φυτὸν βασιλείας 20
εἰς ἀνάστασιν, ἀνὴρ τύπτων δόξαν βασιλέως· καὶ ἐν ἡμέραις ἐσχά-
ταις συντριβήσεται καὶ οὐκ ἐν ὀργῇ οὐδὲ ἐν πολέμῳ. [21]καὶ ἀνα- 21
στήσεται ἐπὶ τὸν τόπον αὐτοῦ εὐκαταφρόνητος, καὶ οὐ δοθήσεται
ἐπ' αὐτὸν δόξα βασιλέως· καὶ ἥξει ἐξάπινα, κατισχύσει βασιλεὺς
ἐν κληροδοσίᾳ αὐτοῦ. [22]καὶ τοὺς βραχίονας τοὺς συντριβέντας 22
συντρίψει ἀπὸ προσώπου αὐτοῦ· [23]καὶ μετὰ τῆς διαθήκης καὶ δή- 23
μου συνταγέντος μετ' αὐτοῦ ποιήσει ψεῦδος καὶ ἐπὶ ἔθνος ἰσχυρὸν
ἐν ὀλιγοστῷ ἔθνει. [24]ἐξάπινα ἐρημώσει πόλιν καὶ ποιήσει ὅσα οὐκ 24
ἐποίησαν οἱ πατέρες αὐτοῦ οὐδὲ οἱ πατέρες τῶν πατέρων αὐτοῦ·
προνομὴν καὶ σκῦλα καὶ χρήματα αὐτοῖς δώσει καὶ ἐπὶ τὴν πόλιν
τὴν ἰσχυρὰν διανοηθήσεται, καὶ οἱ λογισμοὶ αὐτοῦ εἰς μάτην. [25]καὶ 25
ἐγερθήσεται ἡ ἰσχὺς αὐτοῦ καὶ ἡ καρδία αὐτοῦ ἐπὶ τὸν βασιλέα
Αἰγύπτου ἐν ὄχλῳ πολλῷ, καὶ ὁ βασιλεὺς Αἰγύπτου ἐρεθισθήσεται
εἰς πόλεμον ἐν ὄχλῳ ἰσχυρῷ σφόδρα λίαν· καὶ οὐ στήσεται, ὅτι
διανοηθήσεται ἐπ' αὐτὸν διανοίᾳ· [26]καὶ καταναλώσουσιν αὐτὸν 26
μέριμναι αὐτοῦ καὶ ἀποστρέψουσιν αὐτόν, καὶ παρελεύσεται καὶ

26 παρελευσεται] -σονται 88

---

θ' εὑρεθήσεται. [20]καὶ ἀναστήσεται ἐκ τῆς ῥίζης αὐτοῦ φυτὸν βασι- 20
λείας ἐπὶ τὴν ἑτοιμασίαν αὐτοῦ παραβιβάζων πράσσων δόξαν βασι-
λείας· καὶ ἐν ταῖς ἡμέραις ἐκείναις συντριβήσεται καὶ οὐκ ἐν προσ-
ώποις οὐδὲ ἐν πολέμῳ. [21]στήσεται ἐπὶ τὴν ἑτοιμασίαν αὐτοῦ· 21
ἐξουδενώθη, καὶ οὐκ ἔδωκαν ἐπ' αὐτὸν δόξαν βασιλείας· καὶ ἥξει
ἐν εὐθηνίᾳ καὶ κατισχύσει βασιλείας ἐν ὀλισθρήμασιν. [22]καὶ βρα- 22
χίονες τοῦ κατακλύζοντος κατακλυσθήσονται ἀπὸ προσώπου αὐτοῦ
καὶ συντριβήσονται, καὶ ἡγούμενος διαθήκης· [23]καὶ ἀπὸ τῶν συν- 23
αναμείξεων πρὸς αὐτὸν ποιήσει δόλον καὶ ἀναβήσεται καὶ ὑπερ-
ισχύσει αὐτοῦ ἐν ὀλίγῳ ἔθνει. [24]καὶ ἐν εὐθηνίᾳ καὶ ἐν πίοσιν χώ- 24
ραις ἥξει καὶ ποιήσει ἃ οὐκ ἐποίησαν οἱ πατέρες αὐτοῦ καὶ οἱ
πατέρες τῶν πατέρων αὐτοῦ· προνομὴν καὶ σκῦλα καὶ ὕπαρξιν
αὐτοῖς διασκορπιεῖ καὶ ἐπ' Αἴγυπτον λογιεῖται λογισμοὺς αὐτοῦ καὶ
ἕως καιροῦ. [25]καὶ ἐξεγερθήσεται ἡ ἰσχὺς αὐτοῦ καὶ ἡ καρδία αὐτοῦ 25
ἐπὶ βασιλέα τοῦ νότου ἐν δυνάμει μεγάλῃ, καὶ ὁ βασιλεὺς τοῦ
νότου συνάψει πόλεμον ἐν δυνάμει μεγάλῃ καὶ ἰσχυρᾷ σφόδρα·
καὶ οὐ στήσεται, ὅτι λογιοῦνται ἐπ' αὐτὸν λογισμούς· [26]καὶ φά- 26
γονται τὰ δέοντα αὐτοῦ καὶ συντρίψουσιν αὐτόν, καὶ δυνάμεις

20 βασιλειας 1°] pr. της B† || 21 ολισθρημ. B†] ρ > rel.: item in 32. 34 (B*† om. σ in 21, non 32. 34) || 22 κατακλυσθ.] pr. και A || 23 αυτου] -τους B† || 24 πιοσι(ν) BV†(V*† πει-)] πλιοσιν AQ*†, πλειοσι(ν) rel. | αυτοις > A† | λογισμους] διαλογ. A† | αυτου ult. > Bpau. || 25 επι] και (sic) A† | εν δυν. 2°] pr. και A | στησεται L] -σονται BA